Od.24.1 Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
Od.24.2 ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶ
Od.24.3 καλὴν χρυσείην, τῇ τ᾽ ἀνδρῶν ὄμματα θέλγει,
Od.24.4 ὧν ἐθέλει, τοὺς δ᾽ αὖτε καὶ ὑπνώοντας ἐγείρει·
Od.24.5 τῇ ῥ᾽ ἄγε κινήσας, ταὶ δὲ τρίζουσαι ἕποντο.
Od.24.6 ὡς δ᾽ ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
Od.24.7 τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
Od.24.8 ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ᾽ ἀλλήλῃσιν ἔχονται,
Od.24.9 ὣς αἱ τετριγυῖαι ἅμ᾽ ἤϊσαν· ἦρχε δ᾽ ἄρα σφιν
Od.24.10 Ἑρμείας ἀκάκητα κατ᾽ εὐρώεντα κέλευθα.
Od.24.11 πὰρ δ᾽ ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην,
Od.24.12 ἠδὲ παρ᾽ Ἠελίοιο πύλας καὶ δῆμον Ὀνείρων
Od.24.13 ἤϊσαν· αἶψα δ᾽ ἵκοντο κατ᾽ ἀσφοδελὸν λειμῶνα,
Od.24.14 ἔνθά τε ναίουσι ψυχαί, εἴδωλα καμόντων.
Od.24.15 εὗρον δὲ ψυχὴν Πηληϊάδεω Ἀχιλῆος
Od.24.16 καὶ Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο
Od.24.17 Αἴαντός θ᾽, ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
Od.24.18 τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐωνα.
Od.24.19 ὣς οἱ μὲν περὶ κεῖνον ὁμίλεον· ἀγχίμολον δὲ
Od.24.20 ἤλυθ᾽ ἔπι ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
Od.24.21 ἀχνυμένη· περὶ δ᾽ ἄλλαι ἀγηγέραθ᾽, ὅσσοι ἅμ᾽ αὐτῷ
Od.24.22 οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
Od.24.23 τὸν προτέρη ψυχὴ προσεφώνεε Πηλεΐωνος·
Od.24.24 "Ἀτρεΐδη, περὶ μέν σε φάμεν Διὶ τερπικεραύνῳ
Od.24.25 ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
Od.24.26 οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
Od.24.27 δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε᾽ Ἀχαιοί.

Od.24.28 ἦ τ᾽ ἄρα καὶ σοὶ πρωῒ παραστήσεσθαι ἔμελλε
Od.24.29 μοῖρ᾽ ὀλοή, τὴν οὔ τις ἀλεύεται, ὅς κε γένηται.
Od.24.30 ὡς ὄφελες τι̱μῆς ἀπονήμενος, ἧς περ ἄνασσες,
Od.24.31 δήμῳ ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
Od.24.32 τῶ κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
Od.24.33 ἠδέ κε καὶ σῷ παιδὶ μέγα κλέος ἤρα᾽ ὀπίσσω·
Od.24.34 νῦν δ᾽ ἄρα σ᾽ οἰκτίστῳ θανάτῳ εἵμαρτο ἁλῶναι."
Od.24.35 τὸν δ᾽ αὖτε ψυ̱χὴ προσεφώνεεν Ἀτρεΐδα̱ο·
Od.24.36 "ὄλβιε Πηλέος υἱέ, θεοῖσ᾽ ἐπιείκελ᾽ Ἀχιλλεῦ,
Od.24.37 ὃς θάνες ἐν Τροίῃ ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ᾽ ἄλλοι
Od.24.38 κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
Od.24.39 μαρνάμενοι περὶ σεῖο· σὺ δ᾽ ἐν στροφάλιγγι κονί̱ης
Od.24.40 κεῖσο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνά̱ων.
Od.24.41 ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ᾽· οὐδέ κε πάμπαν
Od.24.42 παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
Od.24.43 αὐτὰρ ἐπεί σ᾽ ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
Od.24.44 κατθέμεν ἐν λεχέεσσι, καθήραντες χρόα κα̱λὸν
Od.24.45 ὕδατί τε λιαρῷ καὶ ἀλείφατι· πολλὰ δέ σ᾽ ἀμφὶ
Od.24.46 δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτα̱ς.
Od.24.47 μήτηρ δ᾽ ἐξ ἁλὸς ἦλθε σὺν ἀ̱θανάτῃσ᾽ ἁλίῃσιν
Od.24.48 ἀγγελίης ἀΐουσα· βοὴ δ᾽ ἐπὶ πόντον ὀρώρει
Od.24.49 θεσπεσίη, ὑπὸ δὲ τρόμος ἤλυθε πάντας Ἀχαιούς.
Od.24.50 καί νύ κ᾽ ἀνα̱ΐξαντες ἔβαν κοίλα̱ς ἐπὶ νῆας,
Od.24.51 εἰ μὴ ἀνὴρ κατέρυ̱κε παλαιά τε πολλά τε εἰδώς,
Od.24.52 Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
Od.24.53 ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
Od.24.54 ‘ἴσχεσθ᾽, Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν.

Od.24.55 μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀ̱θανάτῃσ´ ἁλίῃσιν
Od.24.56 ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.’
Od.24.57 ὣς ἔφαθ´, οἱ δ´ ἔσχοντο φόβου μεγάθυ̱μοι Ἀχαιοί.
Od.24.58 ἀμφὶ δέ σ´ ἔστησαν κοῦραι ἁλίοιο γέροντος
Od.24.59 οἴκτρ´ ὀλοφυ̱ρόμεναι, περὶ δ´ ἄμβροτα εἵματα ἕσσαν.
Od.24.60 Μοῦσαι δ´ ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ κα̱λῇ
Od.24.61 θρήνεον· ἔνθά κεν οὔ τιν´ ἀδάκρυ̱τόν γ´ ἐνόησας
Od.24.62 Ἀργείων· τοῖον γὰρ ὑπώρορε Μοῦσα λίγεια.
Od.24.63 ἑπτὰ δὲ καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
Od.24.64 κλαίομεν ἀ̱θάνατοί τε θεοὶ θνητοί τ´ ἄνθρωποι·
Od.24.65 ὀκτωκαιδεκάτῃ δ´ ἔδομεν πυρί· πολλὰ δ´ ἐπ´ αὐτῷ
Od.24.66 μῆλα κατεκτάνομεν μάλα πί̱ονα καὶ ἕλικας βοῦς.
Od.24.67 καίεο δ´ ἔν τ´ ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῷ
Od.24.68 καὶ μέλιτι γλυκερῷ· πολλοὶ δ´ ἥρωες Ἀχαιοὶ
Od.24.69 τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
Od.24.70 πεζοί θ´ ἱππῆές τε· πολὺς δ´ ὀρυμαγδὸς ὀρώρει.
Od.24.71 αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
Od.24.72 ἠῶθεν δή τοι λέγομεν λεύκ´ ὀστέ´, Ἀχιλλεῦ,
Od.24.73 οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι. δῶκε δὲ μήτηρ
Od.24.74 χρύ̱σεον ἀμφιφορῆα· Διωνύ̱σοιο δὲ δῶρον
Od.24.75 φάσκ´ ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
Od.24.76 ἐν τῷ τοι κεῖται λεύκ´ ὀστέα, φαίδιμ´ Ἀχιλλεῦ,
Od.24.77 μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδα̱ο θανόντος,
Od.24.78 χωρὶς δ´ Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
Od.24.79 τῶν ἄλλων ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
Od.24.80 ἀμφ´ αὐτοῖσι δ´ ἔπειτα μέγαν καὶ ἀμύ̱μονα τύμβον
Od.24.81 χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητά̱ων

Od.24.82 ἀκτῇ ἔπι προὐχούσῃ, ἐπὶ πλατεῖ Ἑλλησπόντῳ,

Od.24.83 ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη

Od.24.84 τοῖσ᾽, οἳ νῦν γεγάᾱσι καὶ οἳ μετόπισθεν ἔσονται.

Od.24.85 μήτηρ δ᾽ αἰτήσᾱσα θεοὺς περικαλλέ᾽ ἄεθλα

Od.24.86 θῆκε μέσῳ ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.

Od.24.87 ἤδη μὲν πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησας

Od.24.88 ἡρώων, ὅτε κέν ποτ᾽ ἀποφθιμένου βασιλῆος

Od.24.89 ζώννυνταί τε νέοι καὶ ἐπεντῡ́νωνται ἄεθλα·

Od.24.90 ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θῡμῷ,

Od.24.91 οἷ᾽ ἐπὶ σοὶ κατέθηκε θεᾱ̀ περικαλλέ᾽ ἄεθλα,

Od.24.92 ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.

Od.24.93 ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ᾽ ὤλεσας, ἀλλά τοι αἰεὶ

Od.24.94 πάντας ἐπ᾽ ἀνθρώπους κλέος ἔσσεται ἐσθλόν, Ἀχιλλεῦ·

Od.24.95 αὐτὰρ ἐμοὶ τί τόδ᾽ ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;

Od.24.96 ἐν νόστῳ γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον

Od.24.97 Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο."